μηδὲ παρίδῃς ῥῆσιν ἐμοῦ στόματος
6 μηδὲ ἐγκαταλίπῃς αὐτήν, καὶ ἀνθέξεταί σου·
ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε·
8 περιχαράκωσον αὐτήν, καὶ ὑψώσει σε·
τίμησον αὐτήν, ἵνα σε περιλάβῃ,
9 ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων,
στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου.
10 Ἄκουε, υἱέ, καὶ δέξαι ἐμοὺς λόγους,
καὶ πληθυνθήσεται ἔτη ζωῆς σου,
ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου·
11 ὁδοὺς γὰρ σοφίας διδάσκω σε,
ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς.
12 ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα·
ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσεις.
13 ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς,
ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου.
14 ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς
μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων·
15 ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσιν, μὴ ἐπέλθῃς ἐκεῖ,
ἔκκλινον δὲ ἀπ᾽ αὐτῶν καὶ παράλλαξον.
16 οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν·
ἀφῄρηται ὁ ὕπνος αὐτῶν, καὶ οὐ κοιμῶνται·
17 οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας,
οἴνῳ δὲ παρανόμῳ μεθύσκονται.
18 αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσιν,
προπορεύονται καὶ φωτίζουσιν, ἕως κατορθώσῃ ἡ ἡμέρα·
19 αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί,
οὐκ οἴδασιν πῶς προσκόπτουσιν.
20 Υἱέ, ἐμῇ ῥήσει πρόσεχε,
τοῖς δὲ ἐμοῖς λόγοις παράβαλε σὸν οὖς,
21 ὅπως μὴ ἐκλίπωσίν σε αἱ πηγαί σου,
φύλασσε αὐτὰς ἐν σῇ καρδίᾳ·
22 ζωὴ γάρ ἐστιν τοῖς εὑρίσκουσιν αὐτὰς
καὶ πάσῃ σαρκὶ ἴασις.
23 πάσῃ φυλακῇ τήρει σὴν καρδίαν·

σαι συνεσιν *O*, add. κτησαι σοφιαν και συνεσιν $S^{s(\dagger)}$ | post stichum $5^2$ obelo notatum add. *O* stichum ※μηδε εκκλινης απο ρηματων στοματος μου: eodem loco add. A duos stichos κτησαι σοφιαν κτησαι συνεσιν μη επιλαθη, μηδε εκκλεινης απο ρηματων στοματος μου || $6^1$ μηδε] μη A || $10^2$ πληθυνθ.] + σοι $AS^c$ || $13^2$ αλλα > A || $15^1$ τοπω > $S^{*}\dagger$ || $16^2$ αυτων] pr. απ $AS^c$ | και > A† || $18^2$ κατορθωσει A† || $20^2$ παραβαλλε A: cf. 5 1. 13 || $21^1$ εκλιπωσιν] εκ > $S^{*}V\dagger$ | $21^2$ σῃ > $BS^{*}\dagger$ || $22^1$ αυτην B† | $22^2$ σαρκι] + αυτου $AOS^cV^{(\dagger)}$